Μν. Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
Εὐ. Ἑλένης ὁμοίαν δή μάλις ἴδον γυναῖ.
Μν. ἐγὼ δὲ Μενέλαον ὅσα γ᾽ ἐκ τῶν ἀφύων.
Ευ. Ἔγνως ἄρ᾽ ὀρθῶς ἄνδρα δυστυχέστατον.
Μν. Ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.
Λάβε με λάβε με πόσι.
Περίβαλλε δὲ χέρας.
Φέρε σε κύσω ἄπαγέ μ᾽ ἄπαγ᾽ ἄπαγέ με.
Λαβὼν ταχὺ πάνυ. Γυν. κλαύσετ᾽ ἄρα νὴ τὼ θεὼ
Ὅς τις σ᾽ ἀπάξει τυπτόμενος τῇ λαμπάδι.
Ευ. Σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ.
Τὴν Τυνδάρειον παῖδ᾽ ἐπὶ Σπάρτην ἄγειν.
Γυν. Οἴμ᾽ ὡς πανοῦργος κἀυτὸς εἶναί μοι δοκεῖς.
Καὶ τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι
Ἠγυπτιάζετ᾽. ἀλλ᾽ ὅδε μὲν δώσει δίκην.
Προσέρχεται γὰρ ὁ Πρύτανις χ᾽ ὠ τοξότης.
Ευ. τουτὶ πονηρὸν ἀλλ᾽ ὑπαποκινητέον.
Μν. Ἐγὼ δ᾽ ὁ κακοδαίμων τί δρῶ. Ευ. μένε ἥσυχος.
Οὐ γὰρ προδώσω σ᾽ οὐδέποτ᾽ ἤνπερ ἐμπνέω,
Ἢν μὴ προλείπωσ᾽ αἱ μυρίαι με μηχαναί.
Γυν. Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.

A ΜΝ. *Græcanica, sed & tuum genus volo discere.*
ΕΥ. *Helenæ te similem quidem maximè vidi mulier.*
ΜΝ. *Ego verò Menelaum, quantum quidem colligere possum ex supercilys.*
ΕΥ. *Cognouisti igitur rectè virum infortunatissimum.*
B ΜΝ. *O tardus, qui venisti tuæ uxoris in manus.*
*Apprehende, apprehende me ô marite,*
*Circumijceq; manus.*
*Age, te osculabor: abduc me, abduc abduc me,*
*Apprehendens citò valde.* ΜVL. *plorabit profectò,*
*Quicunq; te abducet verberatus face.*
ΕΥ. *Tu meam uxorem prohibes me*
*Tyndaream filiam in Spartam ducere?*
C ΜVL. *Hei mihi, quàm versutus & tu esse mihi videris.*
*Et huiusce aliquis socius consiliorum. non temerè dudum*
*De Ægypto multa dicebatis sed hic quidem dabit pœnas,*
*Accedit enim consul & satelles.*
ΕΥ. *Hoc malum est, sed latenter discedendum.*
D ΜΝ. *Ego verò infelix quid faciam?* ΕΥ. *mane quietus:*
*Non enim prodam te vnquam, si modò spirauero & vixero,*
*Nisi destituerint infinitæ me machinationes.*
ΜVL. *Hic quidem funis piscatorius nihil traxit.*

BOVRDINVS. Αἰσχυνοῦμαι] ἐρυθριῶ. Ὑβρισμένη τὰς γνάθους] τουτέστι τὰς γνάθους ὑβρισμένας καὶ προπηλακιζομένας ἔχουσα. Ἀφασία] τουτέστιν ἀφωνία, σιωπή, δυσχέρεια τοῦ εἰπεῖν, ἢ λέγειν τι ὑπὸ τῆς αἰσχύνης καὶ ἐρυθριάσεως. Αὐτὸς γάρ] ταυτὸ γὰρ δεῖ ἀποκρίνεσθαι ἡμῖν ἀμφοῖν. Ἐπιχωρία] ἐκ ταύτης τῆς χώρας καὶ πατρίδος. Τὸ σὸν] γένος καὶ τὴν σὴν πατρίδα. Ὅσον γε ἐκ] ἐφ᾽ ὅσον οἷόν τέ ἐστι γιγνώσκεσθαι. Ἐκ τῶν ἀφύων] ὀφρύων. Περίβαλλε] ἀμφίβαλλε καὶ περικύκλωσον τὰς χεῖρας ἐντεῦθεν ἡ γυνὴ αἰσθάνεται τῆς κακουργίας τοῦ Εὐριπίδου ἀπάξαι βουλομένου τὸν Μνησίλοχον. Πανοῦργος.] συμπανουργεύων ἐκείνῳ καὶ συμμηχανώμενος τι κακόν. Ἐτὸς] μάτην, ἄνευ αἰτίας. Ἠγυπτιάζετο] περὶ τῶν Αἰγυπτίων πολλ᾽ ἐλέγετο καὶ ἐματαιολογεῖτο. Πρύτανις] ὁ τιμωρήσων καὶ δίκην ληψόμενος τῆς τούτου μοχθηρίας. Ὑπαποκινητέον.) τουτέστι κατὰ μικρὸν δεῖ ἀπέρχεσθαι καὶ λάθρα, ὥστε ταύτην τὴν γυναῖκα μὴ αἰσθέσθαι. Ἥσυχος] ἀτρεμεῖ χ᾽ ἡσύχαζε. Ἤνπερ.) τουτέστιν ἕωσπερ ἐμπνέω, καὶ ψυχὴν ἔχω, τουτέστι μέχρι θανάτου. τοῦτο γὰρ κοινῶς λέγεται. Προλείπωσι] ἐπιλείπωσι. Μηχαναί.) τέχναι τοῦ λάθρα ἀπέρχεσθαι. Μήρινθος.) ἔστι τὸ Σπάρτης σχοίνιον, δεσμὸς, βρόχος. ἐνταῦθα δὲ σημαίνει τὸ σχοίνιον ἀλιευτικόν. Ἔσπασεν.) καθείλκυσεν. αὕτη δὲ ἡ παροιμία λέγεται περὶ τῶν ἐπιχειρούντων τι ποιεῖν μετὰ σπουδῆς πολλῆς, ἀποτυγχανόντων δὲ, ὅπερ δὴ συμβαίνει τοῖς ἀλιευταῖς.

BISETVS. Τὰς γνάθους ὑβρισμένη.) καὶ γὰρ ἀγνοεῖ πε,

-Βιάζομαι

Γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.
E νῦν οὖν ἐπιφέρει τὸ ὑβρισμένη, ὡς διὰ τὸ μὴ θέλειν τὸ ἐπιταττόμενον ποιεῖν, ταύτην τὴν ὕβριν καὶ βίαν περὶ τὰς γνάθους δρυφθείσας, καὶ ἀμυχθείσας παθοῦσα. Ἀφασία.) ἀναυδία. σιωπή Ἡσύχιος. ὁ δὲ νοῦς τοιοῦτος. ταῦτα ἀκούων, καὶ ὁρῶν, ὑπὸ θαυμασμοῦ τῶν παρὰ προσδοκίαν, ἐμοὶ συμβάντων, φάναι, τουτέστι φωνεῖν οὐ δύναμαι. Ὦ χρόνιος.) τούτων ὁ δὲ νοῦς. ὦ φίλτατε πόσις χρόνιος ἐλθὼν ἐς χαρὰς τῆς σῆς δάμαρτος, τουτέστιν εἰς ἀπολαύσεις, εἰς ἡδονὰς, καὶ εὐφροσύνας ἃς τῷ ἀνδρὶ ἡ φιλοῦσα, καὶ φιλουμένη γυνὴ τῇ ἑαυτῆς παρουσίᾳ παρέχειν εἴωθε, λάβε μὲ, λάβε μὲ, καὶ τὰ ἑξῆς. δάμαρ δὲ, εἴτε δάμαρ, τος, ἡ ἀνδρὶ συνεζευγμένη, καὶ δεδαμασμένη γυνή. παρὰ τὸ δαμάζεσθαι. χαρὰ δὲ, ἡδονὴ, εὐφροσύνη, ἀγαλλίασις, τέρψις, καὶ τῆς ψυχῆς διάχυσις. Ἡσύχιος. Σ. Εὐστ. τινὲς μέν τοι ἐς χέρας, οὐκ ἐς χαρὰς γράφουσιν. ἀλλὰ μηδὲν κίνει. Λάβε με.) ταῦτα τὰ δύο κῶλα, καὶ τὸ ἑξῆς ἐκ βραχειῶν συλλαβῶν ἐξεπίτηδες πεποιημένα δοκεῖ πρὸς τὸ δηλοῦν τὴν ταχύτητα, τὴν ὑπερχαιρούσης γυναικὸς διάθεσιν, καὶ τὸ πάθος μᾶλλον πρὸ τῶν ὀμμάτων τιθέναι. ἀλλ᾽ ἴσως βέλτιον ταῦτα οὕτω διορίζειν, καὶ γράφειν,

G Λάβε μὲ, λάβε μὲ πόσι.
Περίβαλε δὲ χέρας.
Φέρε σὲ κύσω.
Ἄπαγέ μ᾽. ἄπαγ᾽, ἄπαγέ με.

Ὅμοιον τούτοις τὸ παρὰ Λαερτίῳ ἐν τῷ τοῦ Διογένους βίῳ.